Πράξεις Ἀποστόλων 5:36-42
AGE Ch. 35

In Jerusalem, the Apostles have been arrested for preaching in Jesus' name. At the trial, a Pharisee lawyer sounds a note of caution about executing them, and gives examples of similar cases in the past:

36 πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν, ᾧ
προσεκλίθη ἀνδρῶν ἀριθμὸς ὡς τετρακοσίων· ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι
ἐπείθοντο αὐτῷ διελύθησαν καὶ ἐγένοντο εἰς οὐδέν. 37 μετὰ τοῦτον ἀνέστη
Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς καὶ ἀπέστησεν λαὸν ὀπίσω
αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν.
38 καὶ τὰ νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων καὶ ἄφετε
αὐτούς· ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον τοῦτο,
καταλυθήσεται· 39 εἰ δὲ ἐκ θεοῦ ἐστιν, οὐ δυνήσεσθε καταλῦσαι αὐτούς—μήποτε
καὶ θεομάχοι εὑρεθῆτε. ἐπείσθησαν δὲ αὐτῷ, 40 καὶ προσκαλεσάμενοι τοὺς
ἀποστόλους δείραντες παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ καὶ
ἀπέλυσαν. 41 οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου
ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος ἀτιμασθῆναι· 42 πᾶσάν τε ἡμέραν ἐν τῷ
ἱερῷ καὶ κατ' οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι τὸν Χριστόν,
Ἰησοῦν.

ἀνηρέθη < ἀναιρέω kill
ἀπογραφή –ῆς ἡ census
ἀφίστημι take away, draw away
ἀπόστητε (imperative) keep away from
ἀριθμός –οῦ ὁ number
ἀτιμάζω dishonor, disgrace, devalue
ἄφετε (imperative) < ἀφίημι
δείρας –ασα –αν after beating
διδάσκων –ουσα –ον teaching
διαλύω scatter
διασκορπίζω disperse
ἐὰν ~ εἰ
ἐπείσθησαν obeyed (+ dat.; intransitive use of passive form)
εὐαγγελιζόμενος –η –ον preaching
εὑρεθῆτε (passive imperative) < εὑρίσκω
ᾖ ~ ἐστι

θεομάχος –ου ὁ opponent of God
κἀκεῖνος = καὶ ἐκεῖνος
καταλύω* stop
καταξιόω count worthy
λέγων –ουσα –ον saying
μήποτε never
νῦν now
ὀπίσω behind (+ gen.)
ὅσος –η –ον all who
παραγγέλλω order
προσκαλεσάμενος –η –ον after calling for
προσκλίνω join
συνέδριον –ου τό council
τετρακοσίοι –αι –α four hundred
χαίρων –ουσα –ον rejoicing
ὡς w/ numbers = “about”

*καταλυθήσεται = κατα + λυ + θη + σ + εται = 3rd sg future indicative passive